τοικῆς. ἐγὼ μὲν γάρ τοι οὐδ' αὐτός πω δύναμαι κατανοῆσαι ὅ, τι λέγῃ. ὅταν περὶ ἰατρῶν αἱρέσεως ᾖ τῇ πόλει ξύλλογος, ἢ περὶ ναυπηγῶν, ἢ περὶ ἄλλου τινὸς δημιουργικοῦ b) ἔθνους, ἄλλό τι ἢ τότε ὁ ῥητορικὸς οὐ ξυμβουλεύσει; δῆλον γὰρ ὅτι ἐν ἑκάστῃ αἱρέσει τὸν τεχνικώτατον δεῖ αἱρεῖσθαι. οὐδ' ὅταν τειχῶν πέρι c) οἰκοδομήσεως, ἢ λιμένων κατασκευῆς, ἢ νεωρίων· ἀλλ' οἱ ἀρχιτέκτονες· οὐδ' αὖ ὅταν στρατηγῶν αἱρέσεώς πέρι, ἢ τάξεώς τινος πρὸς πολεμίους, ἢ χωρίων καταλήψεως, ξυμβουλὴ ᾖ· ἀλλ' οἱ στρατηγικοὶ d) τότε ξυμβουλεύσουσιν, οἱ ῥητορικοὶ e) δὲ οὔ. ἢ πῶς λέγεις, ὦ Γοργία, τὰ τοιαῦτα; ἐπειδὴ γὰρ αὐτός τε φῂς ῥήτωρ εἶναι, καὶ ἄλλους ποιεῖν ῥητορικούς, εὖ ἔχει τὰ τῆς σῆς τέχνης παρὰ σοῦ πυνθάνεσθαι. καὶ ἐμὲ νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν. ἴσως γὰρ καὶ τυγχάνει τὶς τῶν ἔνδον ὄντων μαθητής σου βουλόμενος γενέσθαι· ὡς ἐγὼ τινὰς σχεδόν καὶ συχνοὺς αἰσθάνομαι, οἳ ἴσως αἰσχύνοιντ' ἄν σε ἀνέρεσθαι. f) ὑπ' ἐμοῦ οὖν ἀνερωτώμενος, νόμισον καὶ ὑπ' ἐκείνων ἀνερωτᾶσθαι, Τί ἡμῖν, ὦ Γοργία, ἔσται ἐάν σοι ξυνῶμεν; περὶ τίνων τῇ πόλει ξυμβουλεύειν οἷοί τε ἐσόμεθα; πότερον περὶ δικαίου μόνον καὶ ἀδίκου;



b) Cod. Aug. δημιουργοῦ. male.

c) Cod. vterque τυχὸν πέρι. vitiose.

d) Cod. vterque στρατηγοί. bene. Sic ante ὁ ῥητορικὸς idem erat atque ῥήτωρ.

e) Bas. 1. ῥητορικοί, et statim pro γὰρ eadem habet καί.

f) Cod. Aug. ἀνερέσθαι. Cod. Meerm. ἀναιρέσθαι. vitiose. Ante vero pro ὡς legendum est fortasse ὧν. Ficinus: *quales ego quosdam et quidem frequentes sentio.* Videtur legisse οἵους.